Σάββατον, 27 Ἀπριλίου 2024

Ἡ ἀνάστασις τοῦ ἁγίου καὶ δικαίου φίλου τοῦ Χριστοῦ Λαζάρου.

τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεών, Ἐπισκόπου Ἱεροσολύμων, συγγενοῦς τοῦ Κυρίου (†107), τῶν Ἁγίων Μαρτύρων Ποπλίωνος καὶ Λολλίωνος τοῦ Νέου, τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Ἰωάννου, Ἡγουμένου τῆς Μονῆς τῶν Καθαρῶν, τοῦ Ἁγίου Εὐλογίου τοῦ ξενοδόχου,

(Τ.Μ.Ε. διάτ. Τριωδίου §61.)




ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ Διάκονος

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεὺς

Εὐλογητὸς ὁ Θεός …

Ὁ Ἀναγνώστης

Ἀμήν.

Ὁ Ἱερεὺς

Δόξα Σοι, ὁ Θεὸς ἡμῶν, δόξα Σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπό πάσης κηλίδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἀναγνώστης

Ἀμήν.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου, ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς

Ὅτι Σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν.

καὶ τὰ τροπάρια.

Σῶσον, Κύριε, τὸν λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ σταυροῦ Σου πολίτευμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ Σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς Σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει Σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν Σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδης, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε. Στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὕς ἐκέλευσας βασιλεύειν καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, …

Εἰς ἑκάστην δέησιν ὁ ἀναγνώστης γοργῶς καὶ πραείᾳ τῇ φωνῇ ἀπαγγέλλει.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ελέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ὅ τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀνα πέμπομεν τῷ Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς

Δόξα τῇ Ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὁ Ἀναγνώστης

Ἀμήν.

καὶ ἀναγιγνώσκει τὸν ἑξάψαλμον.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.(τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου. (δίς)

Ψαλμός γ' (3ος)

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;
Πολλοὶ ἐπανίστανται ἐπ’ ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.
Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα καὶ ἐπήκουσέ μου ἐξ ὄρους Ἁγίου αὐτοῦ.
Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.
Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.
Ἀνάστα, Κύριε, σῶσον με, ὁ Θεός μου. Ὅτι Σὺ ἐπάταξας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν Σου ἡ εὐλογία Σου.

## Καὶ πάλιν

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα. Ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

## Ψαλμός λζ' (37ος)

Κύριε, μὴ τῷ θυμῷ Σου ἐλέγξεις με, μηδὲ τῇ ὀργῇ Σου παιδεύσεις με.
Ὅτι τὰ βέλη Σου ἐνεπάγησάν με καὶ ἐπεστήριξας ἐπ’ ἐμὲ τὴν χεῖρα Σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπὸ προσώπου τῆς οργῆς Σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ’ ἐμέ.
Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.
Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.
Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
Κύριε, ἐναντίον Σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός μου ἀπὸ Σοῦ οὐκ ἀπεκρύβη.
Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.
Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίον μου ἤγγισαν καὶ ἔστησαν καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ, ὡσεὶ κωφός, οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ Σοί, Κύριε, ἤλπισα, Σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.
Ὅτι εἶπον· μήποτε ἐπιχαρῶσι μοι οἱ ἐχθροί μου καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ’ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ καὶ ἐπληθύνθησαν οἱ μισοῦντες με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλείπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ’ ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

Καὶ πάλιν

Μὴ ἐγκαταλείπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ’ ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

## Ψαλμός ξβ' (62ος)

Ὁ Θεός, ὁ Θεός μου, πρὸς Σὲ ὀρθρίζω. Ἐδίψησέ Σε ἡ ψυχή μου, ποσαπλῶς Σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ Ἁγίῳ ὤφθην Σοι, τοῦ ἰδεῖν τὴν δύναμίν Σου καὶ τὴν δόξαν Σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός Σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί Σε.
Οὕτως εὐλογήσω Σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί Σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου καὶ χείλη ἀγαλλιάσεως αἰνέσειτὸ στόμα μου.
Εἰ ἐμνημόνευόν Σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς Σέ, ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω Σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά Σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν

Ἐν ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς Σέ, ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω Σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά Σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός (ἐκ γ΄, ἄνευ μετανοιῶν κεφαλοκλισιῶν καὶ σταυρῶν).

Κύριε, ἐλέησον(τρίς)

Ὁ Ἱερεὺς ἐξέρχεται  ἐκ τοῦ Ἱεροῦ Βήματος καὶ λέγει τὰς ἑωθινὰς εὐχὰς ἔμπροσθεν τῆς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ μυστικῶς.

Ὁ Ἀναγνώστης συνεχίζει

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Ψαλμός πζ' (87ος)

Κύριε, ὁ Θεός τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον Σου.
Εἰσελθέτω ἐνώπιόν Σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς Σου εἰς τὴν δέησίν μου, ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι καὶ αὐτοὶ ἐκ τῆς χειρός Σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ' ἐμέ ἐπεστηρίχθη ὁ θυμός Σου καὶ πάντας τοὺς μετεωρισμούς Σου ἐπήγαγες ἐπ' ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς Σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί Σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός Σου, καὶ τὴν ἀλήθειάν Σου ἐν τῇ ἀπωλείᾳ;
Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά Σου καὶ ἡ δικαιοσύνη Σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς Σέ, Κύριε, ἐκέκραξα καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει Σε.
Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν μου ἀπ' ἐμοῦ;
Πτωχός εἰμὶ ἐγώ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί Σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

### Καὶ πάλιν

Κύριε, ὁ Θεός τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον Σου.
Εἰσελθέτω ἐνώπιόν Σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς Σου εἰς τὴν δέησίν μου.

## Ψαλμός ρβ' (102ος)

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ.
Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις Αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντα σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς Αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος Αὐτοῦ ἐπὶ τοῖς φοβουμένοις Αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους Αὐτόν, ὅτι Αὐτὸς ἔγνω τὸ πλάσμα ἡμὼν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον Αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους Αὐτόν.
Καὶ ἡ δικαιοσύνη Αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσουσι τὴν διαθήκην Αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν Αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον Αὐτοῦ καὶ ἡ βασιλεία Αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι Αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον Αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων Αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις Αὐτοῦ, λειτουργὶ Αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα Αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα Αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας Αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## Καὶ πάλιν

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας Αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## Ψαλμός ρμβ' (142ος)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμέ τὸ πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων.
Διεπέτασα πρὸς Σὲ τὰς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι.
Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα.
Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου.
Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός Σου εἰμί.

Καὶ πάλιν

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου. (δίς)
Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός (ἐκ γ΄ μετὰ μετανοιῶν)

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

Ὁ Διάκονος.

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός (μεθ' ἑκάστην δέησιν).

Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης …

Ὁ Ἱερεύς

Ὅτι πρέπει Σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος α΄. Πα

Ὁ α΄χορός·




Ὁ β΄ Χορὸς

Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Τὸ αὐτό.

Ὁ α΄ Χορὸς

Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτοὺς.




Ὁ β΄ Χορὸς

Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Τὸ αὐτό.

Ὁ α΄ Χορὸς

Ἦχος α΄. Πα

Τὸ Ἀπολυτίκιον ἐκ τρίτου.

Την κοι νην Α να στα σιν προ του Σου πα θους πι στου
με νος εκ νε κρων η γει ρας τον Λα ζα ρον Χρι στε ε ο Θε
ος ο θεν και η μεις ως οι Παι αι δες τα της νι κης
συ υμ βο λα φε ρον τες Σοι τω νι κη τη του θα να του
βο ω ω μεν Ω σαν να εν τοις υ ψι ι στοις ευ λο
γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ου

Ὁ Διάκονος τὴν μικρὰν συναπτήν.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ…

Ὁ α΄χορός.

Κ υ ρι ε ε λε η σον

Ὁ Διάκονος

Ἀντιλαβοῦ ...

Ὁ α΄χορός.

Κ υ ρι ε ε λε η σον

Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄χορός.




Ὁ Ἱερεύς·

Ὅτι Σὸν τὸ κράτος, καὶ Σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν α΄ Στιχολογίαν

Κάθισμα τοῦ Τριωδίου

Ἦχος α΄. Πα

Ὁ α΄ Χορὸς

Τοῦ λίθου σφραγισθέντος.

Κατοικτείρας τῆς Μάρθας, καὶ Μαρίας τὰ δάκρυα, ἐκκυλίσαι τὸν λίθον, ἐκ τοῦ τάφου προσέταξας, Χριστὲ ὁ Θεός· ἀνέστησας φωνήσας τὸν νεκρόν, τὴν τοῦ Κόσμου ζωοδότα, δι' αὐτοῦ πιστούμενος Ἀνάστασιν. Δόξα τῇ δυναστείᾳ σου Σωτήρ, δόξα τῇ ἐξουσίᾳ σου, δόξα τῷ διὰ λόγου πάντα συστησαμένῳ.

Ὁ β΄ Χορὸς




Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς

Τὸ αὐτό.

Καὶ ἀκολούθως ψάλλονται τὰ

Εὐλογητάρια

Ἦχος πλ. α΄ Κε Μέλος σύντομον

## Ὁ α΄ Χορὸς







## Ὁ β΄ Χορὸς




Τ ι ταμυ ρα συμ πα θως τοις δα κρυ σιν ω μα θη τρι αι
κιρ να τε ο α στρα πτων εν τω Τα φω Αγ γε λος
προσ ε φθεγ γε το ταις μυ ρο φο ο ροις ι δε τε υ μεις τον
Τα α φον και η σθη τε ο Σω τηρ γαρ εξ α νε ε στη του
μνη μα τος

Ὁ α΄ Χορὸς


Ε υ λο γη τος ει Κυ ρι ε δι δα ξον με τα δι
και ω μα τα Σου
Λ ι αν πρω ι Μυ ρο φο ροι ε δρα μον προς το
μνη μα Σου θρη νο λο γου σαι αλλ επ ε στη
προς αυ τας ο Αγ γε λος και ει ει πε θρη νου ο


και ρος πε παυ ται μη κλαι ε τε την Α να στα σιν δε
Α πο στο λοις ει πα τε
Ὁ β´ Χορὸς
Ε υ λο γη τος ει Κυ ρι ε δι δα ξον με τα δι
και ω μα τα Σου
Μ υ ρο φο ροι γυ ναι κες με τα μυ ρων ελ θου ου
σαι προς το μνη μα σου ου Σω τερ εν η χουν το Αγ γε
λου τρα νως προς αυ τας φθεγ γο με ε νου τι με τα νε
κρων τον ζω ων τα λο γι ζε σθε ως Θε ος γαρ εξ α
νε ε στη του μνη μα τος
Ὁ α´ Χορὸς
Δ ο ξα Πα τρι ι και Υι ω και Α γι ω Πνευ μα τι


Προ σκυ νου μεν Πα τε ε ρα και το του του
Υι ο ον τε και το Α α γι ον Πνευ μα την Α
γι αν Τρι α δα εν μι α τη ου σι ι
α συν τοις Σε ρα φειμ κρα ζον τες το Α α γι
ος Α γι ος Α γι ος ει Κυ ρι ε
Ὁ β΄ Χορὸς
Και νυν και α ει και εις τους αι ω νας των αι ω νων
α μην
Ζω ο δο την τε κου ου σα ε λυ τρω σω Παρ θε
ε νε τον Α δα αμ α μαρ τι ας χαρ μο νην δε τη
Ευ α αν τι λυ υ πης παρ ε ε σχες ρευ σαν τα ζω

ης ι θυ νε προς ταυ την δε ο εκ σου σαρ κω

θεις Θε ος και αν θρω πος

Ὁ α΄ Χορὸς

Α λ λη λου ου ι α αλ λη λου ι α αλ λη λου

ι α δο ο ο ξα Σοι ο Θε ος

Ὁ β΄ Χορὸς

Τὸ αὐτό·

Ὁ α΄ Χορὸς

Α λ λη λου ι α αλ λη λου ι α αλ λη λου

ι α δο ξα Σοι ο Θε ο ο ο ος

Ὁ Διάκονος τὴν μικρὰν συναπτήν.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ…

Ὁ α΄χορός.

Κ υ ρι ε ε λε η σον

Ὁ Διάκονος

Ἀντιλαβοῦ ...

Ὁ α΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄χορός.




Ὁ Ἱερεύς·

Ὁ Ἱερεύς.

Ὅτι ηὐλόγηταί Σου τὸ ὄνομα, καὶ δεδόξασταί Σου ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




Ὁ α΄ Χορὸς




Κάθισμα, Τριῳδίου

Τὸν συνάναρχον Λόγον

Ἡ πηγὴ τῆς σοφίας, καὶ τῆς προγνώσεως, τοὺς περὶ Μάρθαν ἠρώτας, ἐν Βηθανίᾳ παρών. Ποῦ τεθήκατε, βοῶν, φίλον τὸν Λάζαρον, ὃν δακρύσας συμπαθῶς, τετραήμερον νεκρόν, ἀνέστησας τῇ φωνῇ σου, Φιλάνθρωπε καὶ Οἰκτίρμον, ὡς ζωοδότης καὶ Κύριος.

Ὁ β΄ Χορὸς




Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς

τὸ αὐτό.

Ὁ Ἀναγνώστης ἢ ὁ β΄ Χορὸς

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν. Ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Ψαλμὸς Ν΄ (50)

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνον με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς Ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γιγνώσκω καὶ ἡ Ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γαρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γαρ ἀλήθειαν ἠγάπησα, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς Σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπέρ χιόνα λευκανθήσομαι. ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπό τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ

προσώπου Σου καὶ τὸ πνεῦμα Σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς Σου καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τὴν δικαιοσύνην Σου. Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

## Κανόνες

## Ὠδὴ α΄

## Τοῦ Λαζάρου, Κανὼν α΄.

Ἦχος Νη

## Ὁ Εἱρμὸς

## Ὁ α΄ Χορὸς







## Ὁ β΄ Χορὸς

Ἄσωμεν τῷ Κυρίῳ…

## Ὁ α΄ Χορὸς



Λάζαρον τεθνεῶτα, νεύματι τῷ θείῳ ἐξανέστησας, πλαστουργὸς ὡς ὑπάρχων, καὶ ζωῆς ταμιοῦχος Φιλάνθρωπε.

Ὁ β´ Χορὸς




Λόγῳ τὸν τεταρταῖον, Λάζαρον ἀνέστησας Ἀθάνατε, σκοτεινόμορφον Ἅδου, διαλύσας ἰσχύϊ βασίλειον.

Ὁ α´ Χορὸς




Πᾶσι τῆς ὑπερθέου, γνώρισμα Θεότητος, ὑπέδειξας, ἐκ τῶν νεκρῶν ἐγείρας, τετραήμερον Λάζαρον Δέσποτα.

Ὁ β´ Χορὸς




Σήμερον Βηθανία, προανακηρύττει τὴν Ἀνάστασιν, Χριστοῦ τοῦ ζωοδότου, τῇ ἐγέρσει Λαζάρου χορεύουσα.

Τοῦ Λαζάρου, Κανὼν β´.

Ἦχος 

Ὑγρὰν διοδεύσας.

Ὁ α´ Χορὸς




Ὁ πρὶν ἐκ μὴ ὄντων παραγαγών, τὴν σύμπασαν Κτίσιν, καὶ γινώσκων τῶν καρδιῶν, ταμεῖα προλέγεις ὡς Δεσπότης, τοῖς Μαθηταῖς τοῦ Λαζάρου τὴν κοίμησιν.

Ὁ β΄ Χορὸς




Τὸν ἄνθρωπον φύσει οὐσιωθείς, Χριστὲ ἐκ Παρθένου, τοῦ Λαζάρου σὺ τὴν ταφήν, μαθεῖν ἐπηρώτας ὡς ἄνθρωπος, οὐκ ἀγνοῶν ὡς Θεὸς ὅπου ἔκειτο.

Ὁ α΄ Χορὸς




Πιστούμενος Λόγε τὴν σεαυτοῦ, Ἀνάστασιν ὄντως, ὡς, ἐξ ὕπνου τὸν προσφιλῆ, ἀνέστησας ἤδη ὀδωδότα, τὸν τεταρταῖον νεκρὸν ἐκ τοῦ μνήματος.

Ὁ β΄ Χορὸς




Θεοτοκίον

Τάξεις σε Ἀγγέλων καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς· τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ὠδὴ γ΄

Τοῦ Λαζάρου, Κανὼν α΄.

Ἦχος 

Ὁ Εἱρμὸς

Ὁ α΄ Χορὸς

Συ ει το στε ρε ωμα των προσ τρε χο ον των Σοι Κυ ρι ε Συ ει το φως των ε σκο ο τι σμε νων και υ μνει Σε το πνευ μα μου

Ὁ β΄ Χορὸς

Σὺ εἶ τὸ στερέωμα…

Ὁ α΄ Χορὸς

Δο ξα Σοι ο Θε ος η μων δο ξα Σοι

Δύο προβαλλόμενος, τὰς ἐνεργείας σου ἔδειξας, τῶν οὐσιῶν, Σῶτερ τὴν διπλόην· Θεὸς γὰρ εἶ καὶ ἄνθρωπος.

Ὁ β΄ Χορὸς

Δο ξα Σοι ο Θε ος η μων δο ξα Σοι

Ἄβυσσος ὢν γνώσεως, σὺ ἐρωτᾷς ποῦ τέθειται, ὁ τεθνεώς, μέλλων ἀναστήσειν, Ζωοδότα τὸν κείμενον.

Ὁ α΄ Χορὸς

Δο ξα Σοι ο Θε ος η μων δο ξα Σοι

Τόπους ἀμειβόμενος, ὡς γεγονὼς βροτὸς πέφηνας, περιγραπτός, ὁ πληρῶν τὰ πάντα, ὡς Θεὸς ἀπερίγραπτος.

Ὁ β΄ Χορὸς

Δο ξα Σοι ο Θε ος η μων δο ξα Σοι

Λάζαρον ἐξήγειρας, τῷ θεϊκῷ Χριστὲ ῥήματι, κἀμὲ πολλοῖς, πταίσμασι θανέντα, ἐξανάστησον δέομαι.

Τοῦ Λαζάρου, Κανὼν β´.

Ἦχος ὁ αὐτός.

Ὁ α´ Χορὸς




Οὐρανίας ἀψῖδος.

Ἐπιστὰς σὺ τῷ τάφῳ, θαυματουργὲ Κύριε, ἐν τῇ Βηθανίᾳ, Λαζάρου, τοῦτον ἐδάκρυσας, νόμῳ τῆς φύσεως, πιστοποιῶν σου τὴν σάρκα, Ἰησοῦ ὁ Θεός μου, ἥν περ προσείληφας.

Ὁ β´ Χορὸς




Τῆς Μαρίας τὸ πένθος, σὺ παρευθὺς ἔπαυσας, Σῶτερ, καὶ τῆς Μάρθας, δεικνύων τὸ αὐτεξούσιον· σὺ γὰρ ἀνάστασις, καὶ σὺ ζωὴ ὥσπερ ἔφης· ἀληθείᾳ πέλεις γάρ, καὶ πάντων Κύριος.

Ὁ α´ Χορὸς




Εἰλημμένον κειρίαις, τὸν προσφιλῆ Κύριε, ᾅδου ἐκ νεκάδων, καὶ ζόφου τοῦτον ἀφήρπασας, σὺ ἐν τῷ λόγῳ σου, τῷ πανσθενεῖ τοῦ θανάτου, διαρρήξας κλεῖθρά τε, καὶ τὰ βασίλεια.

Ὁ β´ Χορὸς




Θεοτοκίον

Ἐνοικήσας Παρθένῳ, σωματικῶς Κύριε, ὤφθης τοῖς ἀνθρώποις, ὡς ἔπρεπε θεαθῆναί σε, ἣν καὶ ἀνέδειξας, ὡς ἀληθῆ Θεοτόκον, καὶ πιστῶν βοήθειαν, μόνε φιλάνθρωπε.

Ὁ διάκονος τὴν μικρὰν Συναπτήν·

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ…

Ὁ α΄χορός.




Ὁ Διάκονος

Ἀ ντιλαβοῦ ...

Ὁ α΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ...

Ὁ α΄χορός.




Ὁ Ἱερεύς·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




Ὁ α΄ Χορὸς




Κάθισμα Κατεπλάγη Ἰωσὴφ

Συμπαρέστησαν Χριστῷ, αἱ τοῦ Λαζάρου ἀδελφαί, καὶ δακρύουσαι πικρῶς, καὶ ὀλολύζουσαι αὐτῷ, ἔφησαν, Κύριε, τέθνηκε Λάζαρος· αὐτὸς δὲ ὡς Θεός, οὐκ

ἀγνοῶν τὴν ταφήν, ἠρώτα πρὸς αὐτάς. Ποῦ τεθήκατε; καὶ προσελθὼν τῷ τάφῳ προσεφώνει, τὸν τετραήμερον Λάζαρον· ὁ δὲ ἀνέστη, καὶ προσεκύνει, τὸν αὐτὸν ἀναστήσαντα.

Ἦχος πλ. δ' Νη

Ὁ β΄ Χορὸς

(Μ)

Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι

Ὁ α΄ Χορὸς

Και νυν και α ει και εις τους αι ω νας των αι ω νων α μην

Τὴν Σοφίαν καὶ Λόγον.

Ὁ β΄ Χορὸς

Προγινώσκων τὰ πάντα ὡς ποιητής, ἐν Βηθανίᾳ προεῖπας τοῖς Μαθηταῖς, ὁ φίλος ἡμῶν Λάζαρος, κεκοίμηται σήμερον, καὶ εἰδὼς ἠρώτας, φησί, ποῦ τεθήκατε; καὶ τῷ Πατρὶ προσηύξω, δακρύσας ὡς ἄνθρωπος· ὅθεν καὶ φωνήσας, ὃν ἐφίλεις ἐξ ᾌδου, ἀνέστησας Κύριε, τετραήμερον Λάζαρον. Διὰ τοῦτο βοῶμέν σοι· Πρόσδεξαι Χριστὲ ὁ Θεός, τῶν τολμώντων προσφέρειν τὴν αἴνεσιν, καὶ καταξίωσον πάντας τῆς δόξης σου.

Ὁ Διάκονος

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ…

Ὁ β΄χορός.

Κυ ρι ε ε λε η σον

Ὁ Διάκονος

Ἀντιλαβοῦ ...

Ὁ β΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ β΄ Χορός.




Ὁ Ἱερεύς·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης ἢ ὁ β΄ Χορός·

Ἀμήν.

Κοντάκιον  Ἦχος β'  Τὰ ἄνω ζητῶν.

Ἡ πάντων χαρά, Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς ἡ ζωή, τοῦ Κόσμου ἡ ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι, καὶ γέγονε τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

Ὁ Οἶκος

Τοῖς Μαθηταῖς ὁ Κτίστης τῶν ὅλων, προηγόρευσε λέγων· Ἀδελφοὶ καὶ γνωστοί, ἡμῶν ὁ φίλος κεκοίμηται, τούτοις προλέγων καὶ ἐκδιδάσκων, ὅτι πάντα γινώσκεις ὡς Κτίστης πάντων· ἄγωμεν οὖν πορευθῶμεν, καὶ ἴδωμεν ξένην ταφήν, καὶ θρῆνον τὸν τῆς Μαρίας, καὶ τὸν τάφον Λαζάρου ὀψώμεθα· ἐκεῖ γὰρ μέλλω θαυματουργεῖν, ἐκτελῶν τοῦ Σταυροῦ τὰ προοίμια,  καὶ πᾶσι παρέχων θείαν ἄφεσιν.

Σ υ ν α ξ ά ρ ι ο ν.

Τῇ κζ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεών, Ἐπισκόπου Ἱεροσολύμων, συγγενοῦς τοῦ Κυρίου.

Στίχοι

- Ἀδελφὰ πάσχεις, Συμεών, τῷ Κυρίῳ,
- Ξύλῳ κρεμασθείς, ὡς ἀδελφὸς Κυρίου.
- Ἐν ξύλῳ ἑβδόμῃ Συμεὼν πάγη εἰκάδι μακρῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Ἰωάννου, Ἡγουμένου τῆς Μονῆς τῶν Καθαρῶν.

Στίχοι

- Παθῶν καθαρθείς, ὦ Ἰωάννη Μάκαρ,
- Μονῆς προέστης τῶν Καθαρῶν εἰκότως.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ποπλίωνος, μαχαίρᾳ τελειωθέντος.

Στίχοι

- Σφαγεὶς Ποπλίων, αἷμα σὸν Χριστῷ χέεις,
- "Ὃς ἠγοράσθης αἵματι Χριστοῦ πάλαι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Εὐλογίου τοῦ ξενοδόχου, ἐν εἰρήνῃ τελειωθέντος.

Στίχοι

- Τὸν Εὐλόγιον, τὸν ξενιστὴν τῶν ξένων,
- Θεοῦ ξενιστὴς Ἀβραὰμ ξενιζέτω.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Λολλίωνος τοῦ Νέου, ὃς κατὰ γῆς συρόμενος τελειοῦται.

Στίχοι

- Κονίεται τὸ σῶμα, Μάρτυς Λολλίων,
- Κόνιν φύρεσθαι τὴν ἀπ' αὐτοῦ δοὺς κόνιν.

Ὑπόμνημα τοῦ Τριῳδίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ πρὸ τῶν Βαΐων, ἑορτάζομεν τὴν Ἔγερσιν τοῦ ἁγίου καὶ δικαίου, φίλου τοῦ Χριστοῦ, Λαζάρου τοῦ τετραημέρου.

Στίχοι

- Θρηνεῖς Ἰησοῦ, τοῦτο θνητῆς οὐσίας.
- Ζωοῖς φίλον σου, τοῦτο θείας Ἰσχύος.

Ταῖς τοῦ σοῦ φίλου Λαζάρου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς, Ἀμήν.

# ΚΑΤΑΒΑΣΙΑΙ

Ἦχος Γα

## Ὠδὴ α΄

Ὁ α΄ Χορὸς

Υγραν δι ο δε ευ σας ωσει ξη ραν και την Αι γυ
πτι ι αν μοχ θη ρι ι αν δι α φυ γων ο Ισ ρα η
λι της α νε βο ο α τω λυ τρω τη και Θε ω ω η μων
α σω μεν

## ᾠδὴ γ΄

Ὁ β΄ Χορὸς

Θυ ρα νι ας α ψι δος ο ρο φουρ γε Κυ ρι ε και της
Εκ κλη σι ας δο μη η τορ Συ με κυ βερ νη σον εν τη α
γα πη τη Ζη των ε φε των η α κρο ο της

Ὁ α΄ Χορὸς

τω πι στων το στη ριγ μα μο νε φιλαν θρω πε

## ᾠδὴ δ΄

Ὁ β΄ Χορὸς

Συ μου ι σχυς Κυ ρι ε Συ μου και δυ να μις Συ Θε
ο ος μου Συ μου α γαλ λι α μα ο πα τρι κους κολ πους
μη λι πων και την η με τε ε ραν πτω χει αν ε πι
σκε ψα με νος δι ο συν τω Προ φη τη Αβ βα κουμ Σοι
κραυ γα ζω τη δυ να μει Σου μο νε φι λαν θρω πε

ᾠδὴ ε΄

Ὁ α΄ Χορὸς

Ι να τι με α πω σω α πο του προ σω που Σου το φως
το α δυ τον και ε κα λυ ψε ε με το αλ λο τρι ον
σκο τος τον δει λαι ον α αλλ ε πι στρε ψον με και προς
το φως ως των εν το λων Σου τας ο δους μου κατ ευ θυ
νον δε ο μαι

ᾠδὴ στ΄

Ὁ β΄ Χορὸς

Ι λα σθη τι μοι Σω τηρ πολ λαι γαρ αι α νο μι αι
μου και εκ βυ θου των κα κων α να γα γε δε ο μαι
προς Σε γαρ ε βο η σα και ε πα κου σον μου ο Θε ος
της σω τη ρι ας μου

Ὁ α΄ Χορὸς

ᾠδὴ ζ΄

Θ ι ε εκ της Ι ου δαι ας κα ταν τη σαν τες Παι δες εν
Βα βυ λω νι πο τε τη πι στει της Τρι α δος την φλο ο γα
της κα μι νου κα τε πα τη σαν ψαλ λον τες ο των πα
τε ρων η μων Θε ος ευ λο γη τος ει

ᾠδὴ η΄

Ὁ β΄ Χορὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.




Ὁ διάκονος·

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται

Ὠδὴ θ΄

Τοῦ Λαζάρου Κανών α΄.

Ἦχος λ/π Νη χ

Ὁ α΄ Χορὸς

Ὁ Εἱρμὸς.




Ὁ β΄ Χορὸς

τὸ αὐτό·

Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς




Τοῦ Λαζάρου Κανών β΄.

Ἦχος λ π

Ὁ α΄ Χορὸς




Κυρίως Θεοτόκον.

Τι μω ωΣου τον Πα τε ρα και α πο δει κνυ υ ων ως

ουκ αν τι θεος η σθα προ σε ευχη Χρι στε αυ τε ξου

σι ως ε γει ρας τον τε τρα η με ρον

Ὁ β΄ Χορὸς

Δο ξα Σοι ο Θε ο ος η μων δο ο ξα α Σοι

Εκ τα φου τε ταρ ται ον Λα ζα ρον ε γει ρας

της τρι η με ρου Χριστε μου ε γερ σε ως παν α λη θε

στα τον πα σι δει κνυ εις μαρ τυ ρα

Ὁ α΄ Χορὸς

Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα

τι

Βα δι ζεις και δα κρυ εις φθεγγη τε Σω τη ηρ

μου την αν θρω πι νην δει κνυς σου ε νερ γει αν την Θε

ι κην δε μη νυ ων ε γει ρεις Λα ζα ρον

Ὁ β΄ Χορὸς

Και νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην

Ἐνήργησας ἀφράστως, Δέσποτα Σωτήρ μου, καθ' ἑκατέρων τῶν δύο σου φύσεων, αὐτεξουσίῳ θελήσει, τὴν σωτηρίαν μου.

Καταβασία ᾠδὴ θ΄

Ὁ α΄ Χορὸς

Κ υ ρι ι ως Θε ο το κον σε ο μο λο γου ου μεν
οι δι α σου σε σω σμε νοι Παρ θε ε νε α γνη συ α σω
μα τοις χο ρει ει αις σε με γα λυ νο με ε ε εν

Συναπτὴ μικρά, μεθ᾿ ἣν Ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἦχος Δι

Ὁ α΄ χορός.

Α μην

Α γι ος Κυ ρι ος ο ο Θε ο ος η μων

Τοῦτο λέγεται τρίς.

Εξαποστειλάριον ῏Ηχος γ´ ᾿Επεσκέψατο ἡμᾶς

Λόγῳ σου Λόγε τοῦ Θεοῦ, Λάζαρος νῦν ἐξάλλεται, πρὸς βίον παλινδρομήσας, καὶ μετὰ κλάδων οἱ λαοί, σὲ Κραταιὲ γεραίρουσιν, ὅτι εἰς τέλος ὀλέσεις, τὸν ᾅδην θανάτῳ σου.

Ὅμοιον

Διὰ Λαζάρου σε Χριστός, ἤδη σκυλεύει θάνατε, καὶ ποῦ σου ᾅδου τὸ νῖκος; τῆς Βηθανίας ὁ κλαυθμός, νῦν ἐπὶ σὲ μεθίσταται, πάντες κλάδους τῆς νίκης, αὐτῷ ἐπισείωμεν.

**Αἶνοι**

Ἦχος Πα

Ὁ α´ Χορὸς

Ψαλμὸς ρμη´ (148)




Ὁ β´ Χορὸς

(1) ἤ






Ἐὰν χοροστατῇ Ἀρχιερεύς·

Ὁ α´ Χορός·






Ὁ β΄ χορός.




Ἦχος Πα

Οἱ χοροὶ ἐναλλάξ.

(Οἱ κάτωθι στίχοι εἰς τὰς ἐνορίας παραλείπονται)

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς

ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι·
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ·
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι·
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά·
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς·
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου·

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ·

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## Ψαλμὸς ρμθ´ (149)

ᾎσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ,
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

## Ὁ α´ Χορὸς




## Στιχηρὰ Ἰδιόμελα


Α να στα σις και ζω η των αν θρω πων υ πα
αρ χων Χρι στε εν τω μνη μα τι Λα ζα ρου
ε πε στης πι στου με νος η μιν τας δυ ο ου
σι ας σου μα κρο θυ με
ο τι Θε ος και α αν θρω πος εξ α γνης Παρ
θε νου πα ρα γε γο νας
ως μεν γαρ βρο τος ε πει ρω τας που τε θα πται
ως δε Θε ος α νε στη σας ζω η φο ρω
νε ευ μα τι τον τε τρα η με
ρον

Ὁ β΄ Χορὸς


Αι νει τε τον Θε ον εν τοις α γι οις Αυ του αι
νει τε Αυ τον εν στε ρε ω μα τι της δυ να α με ε
ε ως Α α αυ του
Λα ζα ρον τε θνε ω τα τε τρα η με ρον α νε
στη σας εξ Α δου Χρι στε προ του σου θα
να του δι α σει σας του θα να του
το κρα τος και δι ε νο ος προ σφι λους
την παν των αν θρω πων προ μη νυ ων εκ φθο ρα
ας ε λευ θε ρι αν δι ο προ


σκυ νουν τε ες σου την παν το δυ να μον ε ξου
σι αν δο ω ων τε ες Ευ λο γη με
νο ος ει Σω τη ηρ ε λε η σο ον
η μας

Ὁ α΄ Χορὸς


Αι νει τε Αυ τον ε πι ταις δυ να στει αις Αυ του
αι νει τε Αυ τον κα τα το πλη θος της με γα λω συ υ
υ νης Α α αυ του
Μαρ θα και Μα ρι α τω Σω τη ρι ε
λε γον ει ης ω δε Κυ ρι ε
ουχ αν τε θνη κε Λα ζα ρος
Χρι στος δε η Α να στα σις των κε κοι μη με


(Ν) (Π) (Δ) (Π)
γων τον η δη τε τρα η με ρον εκ γε
χρων α νε στη σε Δευ τε παν
(Μ) (Π) (Μ) (*) (Π)
τες οι πι στοι του τον προ σκυ νη σω μεν τον
(Ν)
ερ χο με νον ε εν δο ξη σω σαι τας ψυ χα
(Π)
ας η μων

Ὁ β΄ Χορὸς


(Μ) (Π)
Αι νει τε Αυ τον εν η χω σαλ πιγ γος αι νει
τε Αυ τον εν ψαλ τη ρι ι ι ω και κι θα α α α ρα
(Π) (Μ) (Π)
Της Θε ο τη το ος σου Χρι στε πα ρε χων
(Ν) (Π)
τοις Μα θη ταις σου τα συ υμ βο λα
(Κ) (Δ) (Μ)
εν τοις ο χλοις ε τα πει νου σε αυ το
(Μ) (Δ)
ον α πο κρυ ψαι τα αυ τη ην βου λο




Ἦχος δ΄. Πα

### Ὁ α΄ Χορὸς

Στιχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.




Ὁ β΄ Χορὸς

Στιχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.




Ἦχος Νη

Ὁ α΄ Χορὸς

Στίχ. Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.




## Ὁ β΄ Χορὸς

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.




## Ἦχος β΄.

### Ὁ α΄ Χορὸς




Με γα και πα ρα δο ξον θα αυ
μα τε τε λε σται ση με ρον
ο τι νε κρον τε ταρ ται ον εκ τα φου
Χρι στος φω νη σας η γει ρε
και φι λον ε κα λε
σε δο ξο λο γη σω μεν αυ το ον
ως υ πε ρε εν δο ξο
ον ω ως ταις πρε
σβει αις του δι και ου Λα ζα ρου σω
σαι τας ψυ χας η μων

Ὁ β΄ Χορὸς




## Δοξολογία Ἰωάννου Καββάδα

Ἦχος

Ὁ α΄ χορός.

Δ ο ξα Σοι τω δει ξαν τι το φως δο ξα εν υ ψι στοις Θε

ω και ε πι γης ει ρη η νη εν αν θρω ποις ευ δο κι ι α

Ὁ β΄ χορός.

Υ μνου με Σε ευ λο γου μεν Σε προσ κυ νου μεν Σε δο ξο

λο γου μεν Σε ευ χα ρι στου μεν Σοι δι α την με γα α λην Σου

δο ο ξαν

Ὁ α΄ χορός.

Κ υ ρι ε Βα σι λευ ε που ρα νι ε Θε ε ε Πα τερ παν το

κρα α τορ Κυ ρι ε Υι ε μο νο γε νες Ι η σου Χρι στε και

Α α γι ον Πνε ευ μα

Ὁ β΄ χορός.

Κ υ ρι ε ο Θε ος ο α μνος του Θε ου ο Υι ος του Πα

τρος ο αι ρων την α μαρ τι ας του κο ο ο σμου ε λε η

σον η μας ο αι αι ρων τας α μαρ τι ας του κο ο

σμου

Ὁ α΄ χορός.


Προσ δε ξαι την δε η σιν η μων ο κα θη με νοε εκ δε
ξι ων του Πα τρος και ε λε η σον η μας
Ὁ β΄ χορός.
Ο τι Συ ει μο νος Α γι ος Συ ει ει μο νος Κυ ρι ος Ι η
σους Χρι στος εις δο ο ξαν Θε ου Πα τρος α μην
Ὁ α΄ χορός.
Καθ ε κα στην η με ραν ευ λο γη σω Σε και αι
νε ε σω το ο νο μα α Σου εις τον αι ω ω να και εις
τον αι ω να του αι ω νος
Ὁ β΄ χορός.
Κατ α ξι ω σον Κυ ρι ε εν τη η με ρα τα αυ τη αν
α μαρ τη τους φυ λα χθη η ναι η μας
Ὁ α΄ χορός.
Ευ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα τε ρων η μων
και αι νε τον και δε δο ξα σμε ε νον το ο νο μα α σου εις
τους αι ω ω νας α μην

Ὁ β΄ χορός.

Γε νοι το Κυ ρι ε το ε λε ος Σου εφ η μας καθ α περ ηλ πι σα μεν ε πι Σε

Ὁ α΄ χορός.

Ευ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον με τα δι και ω μα τα α Σου

Ὁ β΄ χορός.
Τὸ αὐτό·
Ὁ α΄ χορός.
Τὸ αὐτό·
Ὁ β΄ χορός.

Κυ ρι ε κα τα φυ γη ε γε νη θης η μιν εν γε νε α και γε νε α ε γω ει πα Κυ ρι ε ε λε η σο ον με ι α σαι την ψυ χη ην μου ο τι η μαρ το ον Σοι

Ὁ α΄ χορός.

Κυ ρι ε προς Σε κα τε φυ γον δι δα ξον με του ποι ειν το θε λη μα α Σου ο τι Συ ει ο Θε ο ος μου

Ὁ β΄ χορός.

Θ τι πα ρα Σοι πη γη ζω ης εν τω φω τι ι Σου ο

ψο ο με θα φως

Ὁ α´ χορός.

Π α ρα τει νον το ε λε ο ος Σου τοις γι νω σκου σι ι

Σε

Α γι ος ο Θε ος Α γι ος Ι σχυ ρος Α γι ος Α θα

να τος ε λε η σον η μας

Ὁ β´ χορός.

Α γι ος ο Θε ος Α γι ος Ι σχυ ρος Α γι ος Α θα

να τος ε λε η σον η μας

Ὁ α´ χορός.

Τὸ αὐτό·

Ὁ β´ χορός.

Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι

Ὁ α´ χορός.

Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω ω νων

α μην

Ὁ β´ χορός.

Α γι ος Α θα νατος ε λε η σον η μας

Ὁ α΄ χορός.

Α α α α α γι ο ος ο Θε ε ος

Ὁ β΄ χορός.

Α α α α α γι ο ος Ι σχυ υ ρος

Ὁ α΄ χορός.

Α γι ο ο ος Α θα α α α να α α α τος ε λε ε η

η σο ο ο ον η η η η μα α α ας

Καὶ τὸ ἀναστάσιμον τροπάριον.

Ἦχος

Ὁ β΄ χορός.

(Μ)

Σ η με ρον σω τη ρι α τω κο σμω γε ε ε γο νεν

(Μ) (Δ) (Β)

α σω μεν τω α να σταν τι εκ τα φου και αρ χη γω της

ζω ης η μων κα θε λων γαρ τω θα να τω τον θα α να


(Δ) (Μ) (Δ) (Β)
τον το νι κος ε δω κεν η μιν και το με γα
(Μ)
ε λε ο ο ος

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Ὁ Διάκονος

Εὐλόγησον, Δέσποτα.

### Ὁ Ἱερεύς

Ὑψῶν τὸ Εὐαγγέλιον, λέγει:

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

### Ὁ Χορός




### Ὁ Διάκονος ἐξακολουθεῖ

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

### Ὁ Χορός μεθ’ ἑκάστην δέησιν

Ἦχος Νη






Ὁ Διάκονος.

Ἀντιλαβοῦ ...

Ὁ β΄ Χορός.




Ἀθ. Καραμάνη († 2012)

Ἦχος Νη












Ὁ Διάκονος.

Ἀντιλαβοῦ ...

Ὁ β΄ Χορός.




Ὁ Διάκονος.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ...

Ὁ α΄ Χορός.




Ὁ Ιερεύς

Ὅτι πρέπει Σοι πᾶσα δόξα, τιμή καὶ προσκύνησις, τῷ Πατρί καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐν Κυριακῇ καὶ μνήμῃ ἑορταζομένων ἁγίων ψάλλονται ἐναλλὰξ ὑπὸ τῶν χορῶν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί.

(Ἐὰν ψαλῶσιν ἀντίφωνα, βλ. ταῦτα εἰς τὴν σελ. 72)

# ΤΑ ΤΥΠΙΚΑ

## Στάσις Α΄.

Ἦχος 

Ὁ α΄χορός.




Ψαλμός ρβ' (102ος)




Ὁ β΄χορός.




Ὁ α΄χορός.




Ὁ β΄χορός.


Τον λυ τρου με νον εκ φθο ρας την ζω η ην σου τον στε
φα νουν τα σε εν ε λε ε ει και οι κτιρ μοις
Ὁ α΄χορός.
Τον εμ πι πλω ω ων τα εν α γα θοις την ε πι θυ μι αν
σου α να και νι σθη σε ται ως α ε του η νε ο της
σου
Ὁ β΄χορός.
Ποι ων ε λε η μο συ νας ο Κυ ρι ος και κρι μα πα
σι τοις α δι κου με νοις
Ὁ α΄χορός.
Εγνω ω ω ρι σε ε τας ο δους Αυ του τω Μω υ ση
